τῆς τραπέζης ἐλθόντος, εὗρε τὴν κυρίαν αὐτοῦ κοιμω-
μένην, καὶ τὰ ὄπισθεν αὐτῆς ἐπὶ τῆς τραπέζης ὑπάρχον-
τα, καὶ φοβηθεὶς μήπως ἡ κύων ἀνελθοῦσα ἀχρειώσῃ
τὴν τράπεζαν, ἀναμνησθεὶς καὶ τῆς κυρίας αὐτοῦ τὸν λό-
γον, ἀνακομβώσας αὐτῆς τοὺς χιτῶνας, καὶ τὰ ὄπισθεν
αὐτῆς γυμνώσας εἴασεν αὐτὴν κεῖσθαι οὕτως. τοῦ δὲ ξάν-
θου σὺν τοῖς σχολαστικοῖς ἐλθόντος ἀνῆλθον ἐπὶ τὸ ἄριστον.
ἰδόντες δὲ αὐτὴν γεγυμνωμένην καὶ ὑπνώττουσαν, αἰ-
σχυνθέντες ἀπέστρεψαν τὰς ὄψεις αὐτῶν. ὁ δὲ ξάνθος
ἔφη πρὸς τὸν αἴσωπον, τί τοῦτο ὦ κατάρατε. ὁ δὲ φη-
σί, δέσποτα, ἐμοῦ πρὸς τὴν θεραπείαν ὑμῶν ἠσχολημένου,
εἶπον τῇ κυρίᾳ μου προσέχειν τῇ τραπέζῃ, μήπως ἀν-
ελθοῦσα ἡ κύων καταφάγῃ τι. αὐτὴ δὲ ἔφη πρός με,
ἄπελθε, μηδὲν περὶ τούτων φροντίζων. ἐμοῦ γὰρ καὶ
ὁ κῶλος ὀφθαλμοὺς ἔχει. ἄρτι οὖν ὡς ὁρᾷς, κύριέ μου,

http://digital.slub-dresden.de/ppn346259193/69